Ευρωπαϊκή Ένωση
Ευρωπαϊκό Κοινωνικό Ταμείο
ΕΠΙΧΕΙΡΗΣΙΑΚΟ ΠΡΟΓΡΑΜΜΑ
ΕΚΠΑΙΔΕΥΣΗ ΚΑΙ ΔΙΑ ΒΙΟΥ ΜΑΘΗΣΗ
επένδυση στην κοινωνία της γνώσης
ΥΠΟΥΡΓΕΙΟ ΠΑΙΔΕΙΑΣ ΚΑΙ ΘΡΗΣΚΕΥΜΑΤΩΝ
ΕΙΔΙΚΗ ΥΠΗΡΕΣΙΑ ΔΙΑΧΕΙΡΙΣΗΣ
ΕΣΠΑ 2007-2013
πρόγραμμα για την ανάπτυξη
ΕΥΡΩΠΑΪΚΟ ΚΟΙΝΩΝΙΚΟ ΤΑΜΕΙΟ
Με τη συγχρηματοδότηση της Ελλάδας και της Ευρωπαϊκής Ένωσης

Τῆς γυλλοῦς.
(Ms 2316, ff. 432a - 433 a)

Ὡς ἐκατήρχετο ἐκ τοῦ οὐρανοῦ ὁ ἀρχάγγελος Μιχαὴλ, ὑπήντησεν αὐτῷ τὸ ἀκάθαρτον πνεῦμα, ἔχουσα τρίχας ἕως τῶν πτερνῶν αὐτῆς καὶ τοὺς ὀφθαλμοὺς αὐτῆς πεπυρωμένους. Καὶ λέγει αὐτὴν ὁ ἀρχάγγελος Μιχαήλ: «Πόθεν ἔρχῃ καὶ ποῦ ὑπάγεις;». Ἀπεκρίθη ἡ μιαρὰ, λέγει αὐτῷ·: «Ἐγὼ ἀπέρχο[μαι] εἰσελθεῖν εἰς τὸν οἶκον ὡς ὄφις, ὡς δράκων, ὡς ἑρπετὸν, τετράποδα ἐξαλείψω· ἐγὼ ὑπάγω ποιῆσαι γυναικῶν πληγὰς, ἐγὼ ποιῶ αὐτὰς καρδίαν πονέσαι, γάλα σφῖξαι, νήπια πνῖξαι, καὶ πάλιν ποιῶ τα μένειν καὶ τότε ἀποκτενῶ αὐτά· τὸ γὰρ ὄνομά μου Παζαρέα καλοῦμαι· ὅτε γὰρ ἔτεκεν ἡ ἁγία Μαρία τὸν λόγον τῆς ἀληθείας, ἀπῆλθον αὐτὴν πλανῆσαι καὶ εὑρέθην πλανημένη».

Καὶ πιάσας αὐτὴν ὁ ἀρχάγγελος Μιχαὴλ ἐκ τῶν δεξιῶν αὐτῆς πλοκάμων, καὶ λέγει αὐτὴν Μιχαὴλ ὁ ἀρχάγγελος: «Ἀνάγγειλόν μοι τὰ δώδεκά σου ὀνόματα». Καὶ λέγει: «Τὸ πρῶτον ὄνομα Γελλοῦ καλοῦμαι, τὸ δεύτερον Μορφοὺς, τὸ τρίτον Καρανιχοὺς, τὸ τέταρτον Ἀμιξοὺς, τὸ πέμπτον Ἀμιδαζοὺ, τὸ ἕκτον Μαρμαλὰτ, τὸ ἕβδομον Καράνη, τὸ ὄγδοον Σεληνοὺς, τὸ ἔννατον Ἀβυζὰ, τὸ δέκατον Ἀριανὴ, τὸ ἑνδέκατον Μαρανὴ, τὸ δωδέκατον Μαρμαλὰτ, ὅπου εἰσὶν τὰ δώδεκά μου ὀνόματα. Καὶ τὸ ὄνομά σου, ἀρχάγγελε Μιχαὴλ, καὶ τὸ ὄνομά σου, Σισίνιε καὶ Συνόδωρε, οὐ μὴ εἰσέλθω εἰς τὸν οἶκον τοῦ δούλου τοῦ Θεοῦ δεῖνος, ἐπὶ ὀνόματος Πατρὸς, Υἱοῦ καὶ ἁγίου Πνεύματος, νῦν καὶ κτλ.».

Émile Legrand (επιμ.), *Bibliothèque grecque vulgaire*, τ. 2, Maisonneuve et Cie, Παρίσι 1881, σ. ix-xxiv.